Ακαδημία Αθηνών / Academy of Athens

μεταμέλεια. Μεταμέλεια/μετάνοια, repentance, Δημόκριτος 43 *μ ε τ α μ έ λ ε ι α ἐπ' αἰσχροῖσιν ἔργμασι βίου σωτηρίη.* Πρβλ. *μετανοεῖν.*

μετανοεῖν (ἀντίθ. *προβουλεύεσθαι*). Μετανοῶ/σκέπτομαι ἐκ τῶν ὑστέρων, repent/think better of, Δημόκριτος 66 *προβουλεύεσθαι κρεῖσσον πρὸ τῶν πράξεων ἢ μ ε τ α ν ο ε ῖ ν.* Πρβλ. *μεταμέλεια.*

μεταξύ. Μεταξὺ / ἀνάμεσα, among, Ζήνων 3.5-6 *εἰ πολλά ἐστιν, ἄπειρα τὰ ὄντα ἐστίν· ἀεὶ γὰρ ἕτερα μ ε τ α ξ ὺ τῶν ὄντων ἐστί, καὶ πάλιν ἐκείνων ἕτερα μ ε τ α ξ ύ. καὶ οὕτως ἄπειρα τὰ ὄντα ἐστί.*

μεταπίπτειν 1. Μεταπίπτω/μετατρέπομαι, change/be altered, Ἡράκλειτος 88 *τάδε γὰρ μ ε τ α π ε σ ό ν τ α ἐκεῖνά ἐστι κἀκεῖνα πάλιν μ ε τ α π ε σ ό ν τ α ταῦτα* Μέλισσος 8(2)-(4)-(5)-(6) *καὶ μὴ μ ε τ α π ί π τ ε ι ν μηδὲ γίνεσθαι ἑτεροῖον ... πάντα ἑτεροιοῦσθαι ἡμῖν δοκεῖ καὶ μ ε τ α π ί π τ ε ι ν ἐκ τοῦ ἑκάστοτε ὁρωμένου ... οὐ γὰρ ἂν μ ε τ έ π ι π τ ε ν, εἰ ἀληθῆ ἦν ... ἢν δὲ μ ε τ α π έ σ η, τὸ μὲν ἐὸν ἀπώλετο, τὸ δὲ οὐκ ἐὸν γέγονεν* Διογένης 2.7 *καὶ μὴ τὸ αὐτὸ ἐὸν μ ε τ έ π ι π τ ε πολλαχῶς καὶ ἑτεροιοῦτο* Δημόκριτος Α 135 (DK II 117,31) οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν, ἀλλὰ τὸ σχῆμα *μ ε τ α π ῖ π τ ο ν* ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν 9 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μ ε τ α π ῖ π τ ο ν δὲ κατά τε σώματος διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων* 191.3 *ἀνθρώποισι γὰρ εὐθυμίη γίνεται μετριότητι τέρψιος καὶ βίου συμμετρίῃ· τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μ ε τ α π ί π τ ε ι ν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ.* Πρβλ. *ἀλλάσσειν* **2.** Ἐκπίπτω/ξεπέφτω, fall/be brought down, Δημόκριτος 101 *ἐκτρέπονται πολλοὶ τοὺς φίλους, ἐπὴν ἐξ εὐπορίης εἰς πενίην μ ε τ α π έ σ ω σ ι ν.*

μετάρσιος Μετέωρος, suspended in air/in suspense, Ἐμπεδοκλῆς 35.9 *πολλὰ δ' ἄμεικτ' ἔστηκε κεραιομένοισιν ἐναλλάξ, ὅσσ' ἔτι Νεῖκος ἔρυκε μ ε τ ά ρ σ ι ο ν.*

μεταρυσμοῦν. Μεταπλάσσω/μεταβάλλω, transform, Δημό-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ